7 ¶ Καὶ ὁ Νικομαχίδης, Μὰ Δί', ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾤμην ἐγώ σου ἀκοῦσαι. ὡς ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοὶ ἂν εἶεν. ¶ Ἴθι δὴ, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πότερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι. ¶ Πάνυ γε, ἔφη.

8 ¶ Οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς παρασκευάζειν, ἀμφοτέρων ἐστὶν ἔργον; ¶ Καὶ μάλα, ἔφη. ¶ Τί δέ; τὸ προστάττειν ἑκάστοις τὰ ἐπιτήδεια πράττειν; ¶ Καὶ τοῦτο, ἔφη. ¶ Καὶ μὴν καὶ τὸ τοὺς κακοὺς κολάζειν, καὶ τοὺς ἀγαθοὺς τιμᾶν, ἀμφοτέροις οἶμαι προσήκειν.

9 ¶ Πάνυ μὲν οὖν, ἔφη. ¶ Τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι, πῶς οὐ καλὸν ἀμφοτέροις; ¶ Καὶ τοῦτ', ἔφη. ¶ Συμμάχους δὲ καὶ βοηθοὺς προσάγεσθαι, δοκεῖ σοι συμφέρειν ἀμφοτέροις, ἢ οὔ; ¶ Πάνυ μὲν οὖν, ἔφη. ¶ Ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει; ¶ Σφόδρα γ', ἔφη. ¶ Οὐκοῦν καὶ ἐπιμελεῖς καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσή-

κει

§. 7. ἀγαθοὶ στρατηγοὶ] Excidit ἀγαθοὶ ap. Caſtal. et Stob. p. 363.

§. 8. οὐκοῦν ἔφη] Deſunt haec in Iunt. et ap. Stob., nec vertit Beſſario.

ἑαυτοῖς παρασκευάζειν] Stob. παρασκευάσαι omiſſo ἑαυτοῖς.

τὸ προστάττειν ἑκάστοις τὰ ἐπιτήδεια πρ.] Vulgo edunt τὸ προστατεῖν ἑκάστους ἐπιτηδείους (ſed ἐπιτηδείοις eſt in Iunt. et ap. Stob.) πρ. In marg. Steph. eſt τὸ πρ. ἑκάστοις ἐπιτηδείοις πρ. Sed nihil horum a linguae vſu probatur. Quare Leonclauius vult legi τῷ προστατεῖν ἑκάστους ἐπιτηδείους πρ. ſed haec emendatio non magis ferri poteſt quam Porti, qui perinepte traiectionem verborum ſtatuit pro τὸ πράττειν ἑκάστους ἐπιτηδείους προστατεῖν, et interpretatur, *ſingulos efficere idoneos ad aliis imperandum.* Equidem ſecutus ſum Beſſarionis lectionem, reddentis, *Illa vero praecipere cuilibet quae facere ſciat, nonne commune vtrisque eſt?* atque προστάττειν exſtat ap. Stobaeum, et τὰ ἐπιτήδεια dudum legendum ſuaſit Brodaeus. Προστάττειν autem cum dat. et infinit. iungi, quis eſt qui neſciat? Sin exemplis opus, vid. Cyrop. II, 3, 4. Τὰ ἐπιτήδεια h. l. non eſt *commeatus*, ſed *ea, quae fieri debent, quae a quovis recte poſtulari poſſunt.* Vitium ἐπιτηδείους ſuſpicor natum eſſe ex ἐπιτήδεια ὡς, nempe aliquis iſtud ὡς in margine addiderat ad explicandum infinit. πράττειν. In Vatic. 1 et Flor. E προστατεῖν ἕκαστα τοῖς ἐπιτηδείοις πράττειν. In Vatic. 2. Flor. A. B. C. Pariſ. 3 προστατεῖν ἑκάστοις ἐπιτηδείοις πράττειν.

καὶ τὸ τοὺς] Deeſt καὶ in Iunt. et ap. Stob.

§. 9. σφόδρα — προσήκει] Haec omnia, ob duplex προσήκει, exciderunt ibid. Vid. ad III, 3, 5.